*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*********************************************************************

**Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# Σ Ι Λ Β Α Ν Ο Υ

## ΜΑΘΗΤΟΥ ΟΣΙΟΥ ΜΑΞΙΜΟΥ ΤΟΥ ΓΡΑΙΚΟΥ

*

*

*   *   *   *   *

*

*

**Ἀθῆναι   2014**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# Σ Ι Λ Β Α Ν Ο Υ

## ΜΑΘΗΤΟΥ ΟΣΙΟΥ ΜΑΞΙΜΟΥ ΤΟΥ ΓΡΑΙΚΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΒ΄ / ΚΕ΄ Ἰουλίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*************************************

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Ὁσίου Μαξίμου μαθητά,
Σιλβανὲ πανεύφημε,
τοῦ ἐν Ῥωσίᾳ κρατύναντος
πίστιν Ὀρθόδοξον
καὶ Χριστοῦ τὴν κλῆσιν
καθομολογήσαντος
τρανῶς καὶ φυλακὴν πολυχρόνιον
καθυπομείναντος,
ἀγωγῆς αὐτοῦ ὁμόζηλος
ἀνεδείχθης
καὶ δόξης ἰσότιμος.

Μαξίμου γραφὰς ἐπιμελῶς,
Σιλβανέ, ἀντέγραψας
καὶ πολιτείαν κατέγραψας
ἄγαν ἰσάγγελον
τὴν αὐτοῦ, τρισμάκαρ,
κέρας ταπεινώσεως
σεπτόν, αὐτομεμψίᾳ τὴν δίοδον
τῆς τελειώσεως
ὁ ἀνύσας Θείᾳ Χάριτι
καὶ εἰς ὕψος
ὁ φθάσας θεώσεως.

Σεργίου Ὁσίου τῆς Μονῆς

ἀσκητὰ θεόσοφε,
καθυπετάγης θελήματι
τοῦ διδασκάλου σου
καὶ χειραγωγοῦ σου
πρὸς αἰωνιότητα,
Μαξίμου τοῦ Γραικοῦ, οὗ ὁμόζηλος
τρόπων, θειότατε
Σιλβανέ, ἀρτίως πέφηνας
ἄχρι τέλους
σεπτοῦ μαρτυρίου σου.

Μετέφρασας ἐν Σλαβονικῇ
διαλέκτῳ, Ἅγιε,
τοῦ θεαυγοῦς Χρυσοῤῥήμονος,
πάτερ θεόσοφε,
ἑρμηνείαν θείαν
εἰς τὸ Εὐαγγέλιον
Ματθαίου, Σιλβανὲ ἀξιάγαστε,
καὶ διεθέρμανας
Ῥώσων πίστιν τὴν Ὀρθόδοξον,
τοῦ φωστῆρος
αὐτοῦ φάει Πνεύματος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ὁ πνευματοφόρος ἀσκητὴς τῆς τοῦ Ἁγίου Σεργίου Λαύρας
καὶ εὐπειθὴς μαθητὴς τοῦ ὁμολογητοῦ Μαξίμου,
Σιλβανὸς ὁ ἀοίδιμος, ἀθλητικοῦ ἠξιώθη τέλους·
Ὁσιομαρτύρων ὅθεν ἀξιωθεὶς δήμοις συναγάλλεσθαι
καὶ οὐρανοπολίτης ἀναδειχθεὶς στεφηφόρος,
ἀκλινῶς Χριστὸν καθικετεύει
ὑπὲρ τῶν τιμώντων αὐτοῦ τὰ παλαίσματα.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ὅσιε Σιλβανέ,
φανὲ τῆς εὐσεβείας,
μαρτυρικῶς σὸν βίον
ἐτέλεσας καὶ δόξης
ἀφθίτου κατηξίωσαι.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαῖρε, ὁ τοῦ Γραικοῦ
Μαξίμου βιογράφος
καὶ ζηλωτὴς τῶν τρόπων,
Ῥωσίας μέγα εὖχος,
ὦ Σιλβανὲ μακάριε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαῖρε, ὁ μοναστὴς
Σεργίου θείου Λαύρας
καὶ μαθητὴς Μαξίμου,
τοῦ νεαυγοῦς φωστῆρος,
ὦ Σιλβανέ, τῆς πίστεως.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
ἡ ἄῤῥητος σοφία,
Τριὰς ὑπεραγία,
σὺν τῷ Πατρὶ καὶ Λόγῳ
τὸ Πνεῦμα τὸ Πανάγιον.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, ἡ τῶν πιστῶν
σεπτὴ παραμυθία,
Παντάνασσα Κυρία,
τῶν μοναστῶν ἡ σκέπη
καὶ τῶν πιστῶν τὸ στήριγμα.

Νῦν ἀπολύεις**...τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

******************************************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Μάκαρ ὁσιόαθλε,
Ῥωσίας ἥδιστον βλάστημα,
Σιλβανὲ ἀξιάγαστε,
ταμεῖον ἀσύλητον
Πνεύματος Ἁγίου,
ταπεινοφροσύνης
καὶ φιλεργίας ἀκρεμών,
γραφὶς τιμία
καὶ θεοκίνητε,
ὁσίων ὁμηγύρεσι
καὶ ἀθλητῶν θείοις τάγμασιν
ἀληθῶς συνηρίθμησαι,
εὐσεβείας κειμήλιον.

Χάριτι ἱστόρησας
τῇ Θείᾳ βίον τὸν ἄμεμπτον
τοῦ Μαξίμου, σοῦ Γέροντος,
σοφοῦ διδασκάλου σου
καὶ χειραγωγοῦ σου
πρὸς τῆς ἀπαθείας
τὴν κτῆσιν, πάτερ Σιλβανέ,
παρ᾽ οὗ τοὺς πόδας
σεμνῶς ἐκάθησας
καὶ οὗ τῶν τρόπων μέτοχος
καὶ τῶν σκαμμάτων ἐφάμιλλος
ἀνεδείχθης ἐν ἔτεσι
τοῖς ἐσχάτοις, μακάριε.

Πάτερ θεοτίμητε,
τῶν μοναστῶν ἠκολούθησας,
Σιλβανέ, ἐκ νεότητος
ὁδοῖς καὶ ἐνῴκησας
θεαυγοῦς Ὁσίου
Λαύραν ἐν Ῥωσίᾳ,
ἐν ᾗ βαθμίδας ἀρετῶν
τῶν ψυχοτρόφων ἀνῆλθες τάχιστα
καὶ ἤρθης εἰς σκηνώματα
τῆς ἐν Χριστῷ τελειότητος
καὶ ὑπέρφωτα δώματα
ὁσιότητος, ἔνθεε.

Μύρῳ πολιτείας σου
τῆς ἀκραιφνοῦς εὐωδίασας
γῆς Ῥωσίδος τὴν εὔγονον
καὶ σοῦ τοῖς συγγράμμασι,
μαθητὰ Μαξίμου
τοῦ Ὁσίου, πᾶσαν
τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ,
νῦν τὴν τιμῶσαν τὴν θείαν μνήμην σου,
ὀσφράδιον τῆς πίστεως
τῆς Ὀρθοδόξου μυρίπνοον
δυσωδίαν κακότητος
ὁ διώξας ἀθλήσει σου.

Θείας ἱκανότητας
θαυμάζων τοῦ διδασκάλου σου,
Σιλβανὲ πνευματέμφορε,
γλωσσῶν γνῶσιν ἄπταιστον,
ἔνθεον σοφίαν,
στίχων ποιημάτων
ἡρωωελεγειακῶν
τὴν ἱκανότητα, ὀξυδέρκειαν

νοός, πάτερ παγκόσμιε,
καὶ εὐφυΐαν, ἐζήλωσας
ἄχρι τέλους ἀθλήσεως
τὰ ἐκείνου παλαίσματα.

Πάτερ, Χρυσοῤῥήμονος
τοῦ Ἰωάννου μετέφρασας
τῇ τοῦ Πνεύματος Χάριτι
Σλαβόνων, πανόσιε,
ἐν τῇ διαλέκτῳ
θείαν ἑρμηνείαν
Εὐαγγελίου τοῦ σεπτοῦ
κατὰ Ματθαῖον
τὸν χαριτόβρυτον,
ἣν ταπεινῶς ἀπέδωκας
Μαξίμῳ τῷ διδασκάλῳ σου,
Σιλβανὲ παναοίδιμε,
εὐσταλὲς ὁσιόαθλε.

**Δόξα. Ἦχος πλ. β΄.**

Τὸν θεοφώτιστον καὶ πνευματοκίνητον ἄνδρα,
ἐμπρέψαντα συνέσει καὶ ταπεινώσει,
ὡς μαθητὴν καὶ βιογράφον καὶ ὁμόζηλον
τοῦ Ὁμολογητοῦ Μαξίμου,
Σιλβανὸν τὸν Ὁσιομάρτυρα, τιμήσωμεν
οὕτω λέγοντες·
Ῥωσίας πολυτίμητε σάπφειρε,
ὁ ἀρεταῖς καὶ μαρτυρίῳ κατακοσμήσας
τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν,
μὴ παύσῃ Αὐτὸν ὑψόθεν ἡμῖν ἱλεούμενος
τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ΄ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ΄ αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ;Ἢ τίς

ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδείς· μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ΄ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ΄ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α΄.**

Δεῦτε φιλεόρτων οἱ δῆμοι
καὶ μοναστῶν φιλοσίων τὰ σμήνη
ἐκθύμως τιμήσωμεν τὴν πνευματοκίνητον γραφίδα,
Σιλβανὸν τὸν θεόπνευστον,
Ὁμολογητοῦ Μαξίμου μαθητὴν εὐπειθέστατον
καὶ τρόπων ὁμόζηλον οὕτω λέγοντες·

Ἀσκητὰ ταπεινόφρον καὶ ἀρετηφόρε,
ὁ μαρτυρικῶς τελέσας τὸν βίον
διὰ πνιγμοῦ ἐξ ἀναθυμιάσεων
ἐκ τῆς ἀτελοῦς καύσεως ξυλωδῶν προϊόντων,
καὶ ὁσιοάθλων συναριθμηθεὶς χορείαις,
ἐκτενῶς Χριστόν, τὸν Θεὸν ἡμῶν, δυσώπει
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

**Ἦχος β΄.**

Τὸν ὁσιώτατον καλλιγράφον
καὶ θεοσοφίᾳ μοναστὴν κεκοσμημένον,
Σιλβανόν τιμήσωμεν, μαθητὴν Μαξίμου πανάριστον,
ὡς κρηπίδωμα εὐσεβείας ἀδιάσειστον,
ἐν εὐλαβείᾳ κραυγάζοντες·
Ὁ τῶν καμάτων τοῦ διδασκάλου σου ὁμόζηλος
καὶ τοῦ Θεοῦ φίλος γνήσιος,
ἐκτενῶς Αὐτὸν ἐκδυσώπει
ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Ἦχος γ΄.**

Παῤῥησίᾳ Χριστὸν ὡμολόγησας ἄχρις ἀθλήσεως
ἐνωρίτερον τοῦ Ὁμολογητοῦ διδασκάλου σου, Μαξίμου,
πολυχρονίους ἐν φυλακῇ ὑπομείναντος βασάνους,
Σιλβανέ, Ὁσιομάρτυς ἀκατάβλητε,
ὁ ἀπαιωρηθεὶς καὶ ἀποπνιγεὶς δι’ ἀναθυμιάσεων·
διὸ καὶ χάριν εὕρηκας θεόθεν πρεσβεύειν
ὑπὲρ τῶν ἐκθύμως τιμώντων σε
καὶ ἑορταζόντων ἐν ὕμνοις τὴν ἀεισέβαστον μνήμην σου.

**Ἦχος δ΄.**

Τὸν χερσὶ μιαιφόνοις ἀδίκως κτανθέντα,
ὁσιώτατον μαθητὴν Μαξίμου τοῦ οὐρανόφρονος,
ὡς πίστεως σέμνωμα καὶ Ῥωσίας ἐγκαλλώπισμα νέον,
ὑμνήσωμεν λέγοντες·
Ὁ τρόποις βιοτικοῖς καὶ συγγράμμασι Θεῷ εὐαρεστήσας,
εὔφρανον εὐχαῖς σου καὶ τοὺς εἰλικρινῶς σε μεγαλύνοντας
καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς τῶν ὕμνοις τιμώντων σε.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Ἁμιλλώμενος τῇ βιοτῇ τοῦ διδασκάλου σου,
Ὁμολογητοῦ τῆς πίστεως, Μαξίμου, τοῦ ἐξ Ἑλλάδος,
ἐν Ῥωσίᾳ διέπρεψας ἐπ’ ἀρετῇ καὶ σοφίᾳ,
Σιλβανέ, καλλίχορδε κιθάρα τοῦ Πνεύματος·
ὅθεν πάντες τρυφῶντες τῶν συγγραμμάτων σου
καὶ πνευματικῶς εὐωχούμενοι,

Χριστὸν δοξάζομεν,
τὸν παρέχοντα ἡμῖν εὐχαῖς τὸ πλούσιον ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ τῆς Ῥωσίας φωστήρ,
Σεργίου Λαύρας τοῦ Ὁσίου ἐκπύρσευμα,
ἀσκήσεως θεῖον φέγγος,
φωστὴρ σεμνῆς βιοτῆς,
ταπεινοφροσύνης
καὶ χρηστότητος
ἀμάρυγμα πάμφωτον,
Σιλβανὲ θεοφώτιστε,
ὁ διαλάμψας
ταῖς αὐγαῖς συγγραμμάτων σου
καὶ σοφίας σου
ὑπὲρ νοῦν, πάτερ, λάμψεσιν·
ὅθεν τὴν θείαν μνήμην σου
τιμῶντες γηθόμενοι
οἱ ἐν σκιᾷ ἀγνωσίας
τοῦ Θεοῦ Λόγου καθεύδοντες
σεπτῶν ἐνταλμάτων
πρὸς τὸ φῶς θεογνωσίας
κατευθυνόμεθα.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, ὁ τῆς Ῥωσίας λαμπτήρ,
ὁ διαλάμψας ἀστραπαῖς συγγραμμάτων σου,
καμάτων ἀσκητικῶν σου,
ὑπακοῆς ἀληθοῦς,
ἀγωγῆς ἀμέμπτου,
ταπεινώσεως
καὶ ἤθους χρηστότητος,
Σιλβανὲ ἀξιάγαστε,
τοῦ Παρακλήτου
τιμαλφὲς ἐνδιαίτημα
καὶ ὡράϊσμα
τοῦ Χριστοῦ θείας πίστεως·
ὅθεν σὴν μνήμην σέβοντες
χοροὶ εὐσεβόφρονες
καὶ μεγαλύνοντες πόθῳ
ὑπακοήν σου τὴν ἄμετρον
πρὸς τὸν Γέροντά σου
καὶ διδάσκαλον θεόπνουν
σὲ μακαρίζομεν.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μνήμην τὴν σὴν σεπτήν, Σιλβανέ,
ἐπιτελοῦντες Χριστωνύμων οἱ σύλλογοι,
Ῥωσίας ἀχανεστάτης
καὶ πάντων Ἀθωνιτῶν
μοναστῶν καμάτους
μεγαλύνομεν
σεπτούς σου πρὸς θέωσιν,
μαθητὰ εὐπειθέστατε
Γραικοῦ Μαξίμου,
τοῦ σοφοῦ διδασκάλου σου,
οὗ κατέγραψας
βιοτῆς κατορθώματα,
ὁμολογίαν πίστεως
καὶ τὴν πολυχρόνιον
εἱρκτήν, ἐν ᾗπερ, τρισμάκαρ,
αὐτὸς τὸ ζῆν ἐξεμέτρησε,
θεόσοφε πάτερ,
εὐσεβείας θεία σάλπιγξ
καὶ ταπεινώσεως.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ταπεινούμενος καὶ αὐτομεμφόμενος διῆλθες τὸν δόλιχον
τοῦ ἀσκητικοῦ σου βίου ἐν Ῥωσίᾳ, Σιλβανὲ θεοτίμητε·
σὺ γὰρ ζηλώσας τοὺς τρόπους τοῦ διδασκάλου καὶ χειραγωγοῦ σου,
Μαξίμου τοῦ Ὁμολογητοῦ, σεμνῶς καὶ ἀφανῶς ἐπολιτεύσω
καὶ τὴν ἐκκλησιαστικὴν γραμματείαν ἐπηύξησας ἔργοις σου·
ὅθεν τὴν μνήμην σου σήμερον ἑορτάζοντες
καὶ τὸ μαρτυρικόν σου διὰ πνιγμοῦ ἐξ ἀερίων τέλος μακαρίζοντες
Χριστὸν δοξάζομεν τὸν ἀξίως σε δοξάσαντα.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις...**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον·**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Θεοσόφου Μαξίμου γραφέα πάνσεπτον
τῶν θεοπνεύστων ῥημάτων
καὶ μαθητὴν εὐπειθῆ,
Σιλβανὸν τὸν ὁσιόαθλον, τιμήσωμεν
πίστεως εὖχος ὡς σεπτὸν
καὶ Ῥωσίας τιμαλφὲς
θησαύρισμα ἐκβοῶντες·
Μαρτύρων νέων κοσμῆτορ,
Θεοῦ Υἱὸν ἡμῖν ἱλέωσαι.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

*****************************************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Ὁσίων ἀθλητῶν,
Σιλβανέ, κοσμιότης,
ἐσχάτοις ἐν καιροῖς
μιαιφόνων ἐκτάνθης
χερσί, παναοίδιμε,
βιογράφε θεόπνευστε
τοῦ θεόφρονος
Γραικοῦ, Μαξίμου, καὶ πόλου
θεῖος ἔνοικος
ἐδείχθης σὲ τοῖς ὑμνοῦσι
Θεὸν ἱλεούμενος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἐν λύπαις εὐσεβεῖς
παραμύθησον τάχος
ἐνθέρμοις σου εὐχαῖς,
Μῆτερ Παραμυθία,
πρὸς Τόκον σου ἅγιον,
εὐσυμπάθητον Κύριον,
Ὃν ἱλέωσαι
τοῖς σὲ ἐν ὕμνοις εὐήχοις
μεγαλύνουσι
καὶ πόθῳ δοξολογοῦσιν
Αὐτόν, Μητροπάρθενε.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Σοφίας ἐφάμιλλε
τοῦ διδασκάλου τοῦ σοῦ,
Μαξίμου τῆς πίστεως
σεπτοῦ ὁμολογητοῦ,
καὶ ῥεῖθρον τῆς Χάριτος,
Πνεύματος τοῦ Ἁγίου,
Σιλβανὲ θεοφόρε,
πέφηνας Ἐκκλησίας
πολυτίμητον γέρας,
ἀθλήσει ὁ τελέσας λαμπρῶς
βίον σου πρόσκαιρον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Παντάνασσα Δέσποινα,
Παραμυθία σεμνή,
κλεινὴ Βηματάρισσα,
Ἑλαιοβρῦτις ἁγνὴ
καὶ Ἀντιφωνήτρια,
ἄχραντε Ἐσφαγμένη
καὶ Πυροβοληθεῖσα,
Μάνδραν Βατοπαιδίου
οὐρανόθεν εὐλόγει
τιμῶντος εὐλαβῶς Σιλβανοῦ
μνήμην τὴν πάνσεπτον.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Ὁσίων πρόβολος καὶ σεμνολόγημα
Μαρτύρων πίστεως ὤφθης πολύτιμον,
πνευματοφόρε Σιλβανέ, Μαξίμου Γραικοῦ ὁ σώρφων
μαθητής, ὃν ἄνομοι ἀπηνῶς ἀπηώρησαν
καὶ δεινῶς ἀπέπνιξαν δι᾽ ἀναθυμιάσεως,
τρισμάκαρ, τοξικῶν ἀερίων· ὅθεν σὲ ἀνυμνολογοῦμεν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἐλαιοβρύτισσα, Ἀντιφωνήτρια,
σεμνὴ Παντάνασσα καὶ Βηματάρισσα,
Παραμυθία Μαριάμ, σεπτὴ Πυροβοληθεῖσα
καὶ θαυμάτων πέλαγος Ἐσφαγμένη Μητρόθεε,
Παναγία Δέσποινα, μονοτρόπων ἀγλάϊσμα,
εὐλόγει οὐρανόθεν καὶ ῥύου βλάβης Μονὴν Βατοπαιδίου.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος...

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 -ιστ΄ 2 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν..
**Ὅρα τὸ εἰς τὴν Λειτουργίαν τοῦ Ἁγίου Γεωργίου.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Τοῦ Ὁσιοάθλου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄**

Ὁ Θεῷ εὐαρεστήσας ἀμέμπτῳ πολιτείᾳ,
συγγραμμάτων πληθύϊ καὶ μαρτυρικῷ τέλει,
Σιλβανέ, Μαξίμου μαθητὰ καὶ ὁμότροπε,
στεφανηφόρος ἀπῆλθες Αὐτῷ ὑπαντῆσαι,
δωρουμένῳ δαψιλῶς οὐρανόθεν

πᾶσιν ἡμῖν εὐχαῖς σου τὸ μέγα καὶ πλούσιον ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσιομάρτυρος, οὗ ἡ Ἀκροστιχίς·**

**" Σιλβανοῦ, Μαξίμου μαθητοῦ, ἐγκώμιον. Χ. Μ. "**

**Ὠδὴ α΄ . Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Σοφίας τὸ ἔσοπτρον
τὸ διαυγέστατον μέλψωμεν,
Μαξίμου τὸν πάνσεπτον
καὶ εὐπειθῆ μαθητήν,
ἐνωρίτερον
αὐτοῦ τοῦ μαρτυρίου
ὁδὸν διανύσαντα
πάντες γηθόμενοι.

Ἰσχὺν ἐνδυσάμενος
θεόθεν ὥσπερ ἱμάτιον
τὸν κόσμον κατέλιπες
καὶ τὰ τερπνά, Σιλβανέ,
τὰ φθειρόμενα
καὶ ᾤκησας τὴν Λαύραν
Σεργίου τοῦ μάκαρος,
πάτερ ἰσάγγελε.

Λαμπὰς ὁσιότητος
καὶ ταπεινώσεως, ηὔγασας
ὁσίων καμάτων σου
ταῖς ἀστραπαῖς, Σιλβανέ,
τὴν Ὀρθόδοξον
καὶ ἀχανῆ Ῥωσίαν
καὶ κόσμου τὰ πέρατα
νῦν εὐφημοῦντά σε.

**Θεοτοκίον.**

Βοήθει τοῖς δούλοις σου,
θαυματουργὲ Βηματάρισσα,
ἀνύστακτε ἔφορε
Βατοπαιδίου Μονῆς,
τοὺς προστρέχοντας
τῇ σῇ ἐπιστασίᾳ,
ὧν βήματα ἴθυνον,
Μῆτερ, πρὸς θέωσιν.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ἀσκήσεως εὔλαλον στρουθίον,

Ὁσίων σεμνότης, Σιλβανέ,
Κυρίου ἐκελάδησας
σοφίαν ἀκατάληπτον
πιστοῖς καὶ Θείου Πνεύματος
ἰσχὺν καὶ σθένος καὶ δύναμιν.

Νεκρώσας τῇ Χάριτι τῇ Θείᾳ
τὰ μέλη σου, μάκαρ Σιλβανέ,
ἐπὶ τῆς γῆς ἐζώωσας
τὸ πνεῦμά σου καὶ γέγονας
τοῦ Παρακλήτου τέμενος,
θεοειδές, ἀχειρότευκτον.

Ὁλόφωτον πύρσευμα σοφίας
καὶ νήψεως, πάτερ Σιλβανέ,
ὁσιωτάτῳ Γέροντι,
Μαξίμῳ, καθυπέταξας
σαυτὸν καὶ ζόφον ἔλυσας
τοῦ σαρκικοῦ σου φρονήματος.

**Θεοτοκίον.**

Ὑπέραγνε Κεχαριτωμένη,
Παντάνασσα, Μῆτερ τοῦ Θεοῦ,
Βατοπαιδίου σέμνωμα,
εὐλόγει καὶ ἁγίαζε
τοὺς σπεύδοντας ἀσπάσασθαι
τὴν σεβασμίαν εἰκόνα σου.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Λαύρας ἔνοικε σεπτοῦ Σεργίου
καὶ ὁμόζηλε τῶν παλαισμάτων
Ὁμολογητοῦ Μαξίμου, σοῦ Γέροντος
καὶ ὁδηγοῦ, Σιλβανέ, πρὸς τελείωσιν,
ἀθλητικῶς τὸν ἀγῶνα ἐτέλεσας
ἐνωρίτερον τοῦ ἔμφρονος διδασκάλου σου,
μεθ᾽ οὗ τρυφᾷς νῦν πόλου ὡραιότητος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Βατοπαίδιον σῇ προστασίᾳ
σπεύδει πάντοτε, Θεογεννῆτορ,
Ἐσφαγμένη, Βηματάρισσα πάναγνε,
Παραμυθία γλυκεῖα, Παντάνασσα,
Ἀντιφωνήτρια, Ἑλαιοβρύτισσα,
καὶ ὑπέρμαχε τῆς πύλης καὶ ἀγαλλίαμα,
ὢ Πυροβοληθεῖα Μητροπάρθενε.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Μονοτρόπων κοσμιότης,
Σιλβανὲ ἀξιάγαστε,
μαθητὰ Μαξίμου
ὁμολογητοῦ εὐπειθέστατε,
καὶ βιογράφε αὐτοῦ πνευματοκίνητε,
σοῖς συγγράμμασι
πιστῶν χορείας ὠφέλησας.

Αἴγλης θείας ἀπολαύεις
σὺν Μαξίμῳ θεόφρονι
οὐρανῶν ἐν δόμοις,
Σιλβανέ, ὡς τρόπων ὁμόζηλος
αὐτοῦ καὶ πίστεως γέρας πολυτίμητον,
ὁσιόαθλε,
σοφίας κρήνη ἀκένωτε.

Ξενωθεὶς τῶν φθειρομένων
καὶ ῥεόντων ἐπόθησας
ἐκ νεότητός σου
πάντα, Σιλβανέ, τὰ οὐράνια
καὶ διαμένοντα, πάτερ πνευματέμφορε,
ὁ καὶ στέφανον
μαρτυρικὸν κομισάμενος.

**Θεοτοκίον.**

Ἴθυνόν με πρὸς ἐπάλξεις
οὐρανῶν, Μητροπάρθενε,
Ἐσφαγμένη Μῆτερ,
τὸν τὴν σὴν μορφὴν ἀσπαζόμενον
Βατοπαιδίου ἐν Μάνδρᾳ, χαριτόβρυτε,
ἡ ἰθύνουσα
πιστούς σου δούλους πρὸς θέωσιν.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Μαξίμου τῆς γνώσεως
τῆς ἱερᾶς ἐφάμιλλε,
πάτερ Σιλβανέ, σοῦ διδασκάλου,
τοῦ Χρυσοστόμου
εἰς γλῶσσαν σλαβονικὴν
σεπτὴν ἑρμηνείαν τῆς Γραφῆς
τοῦ Ματθαίου, χείμαῤῥε
Παρακλήτου, μετέφρασας.

Ὁσίων τοῖς ἴχνεσιν
ἀκολουθῶν ἐσφράγισας
πόνοις, Σιλβανέ, σοῦ μαρτυρίου

τὴν βιοτήν σου
ἐπὶ τῆς γῆς τὴν σεμνήν,
Μαξίμου Ὁσίου μαθητά,
τοῦ καθωραΐσαντος
Ἐκκλησίαν του Κτίσαντος.

Ὑφέρποντος δράκοντος
τὴν κεφαλὴν συνέτριψας
βίου καθαρότητι καὶ ἔργοις
σοφῶν γραφῶν σου,
θεοειδὲς Σιλβανέ,
Ῥωσίας ἐκβλάστημα σεπτὸν
ἴα ταπεινώσεως
τὸ βλαστήσαν μυρίπνοα.

**Θεοτοκίον.**

Μνημόνευε δούλων σου,
Παραμυθία πάνσεπτε,
ἄγρυπνε φρουρὲ Βατοπαιδίου,
ἀσπαζομένων
ἐν εὐλαβείᾳ πολλῇ
εἰκόνα σου τὴν θαυματουργόν,
Μῆτερ εὐσυμπάθητε,
Χριστωνύμων διάσωσμα.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ἀστὴρ σοφίας νεόφωτε,
ἐφώτισας  σοῖς ἔργοις τὰ σύμπαντα
καὶ κατηγλάϊσας
Ῥωσίαν, τὴν εὐφημοῦσάν σε
νῦν, Σιλβανέ, ὡς σκεῦος
τῆς Θείας Χάριτος.

Θεὸν λαμπρῶς ἐμεγάλυνας
σῇ ταπεινοφροσύνῃ, σεμνότητι,
πόνοις γραφίδος σου
καὶ μαρτυρίου σου σκάμμασιν,
ὦ Σιλβανέ, Μαρτύρων
Ὁσίων ἄγαλμα.

Ἡ εὐσεβόφρων ὁμήγυρις
τῶν Ῥώσων, Σιλβανέ, μεγαλύνει σε
ὡς ὁσιόαθλον,
σοῦ ἐνωρίτερον Γέροντος
ἀθλήσαντος Μαξίμου
Γραικοῦ, ἀοίδιμε.

**Θεοτοκίον.**

Τοῦ σοῦ Υἱοῦ πέμψον ἅπασι
τὸ ἔλεος τὸ μέγα καὶ ἄμετρον,
Ἐλαιοβρύτισσα,
Βατοπαιδίου ὡράϊσμα
καὶ οἰκονόμε, Μῆτερ.
Θεογεννήτρια.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ῥωσίας γόνε, Σιλβανὲ πνευματοφόρητε,
ὁ ταπεινώσει ἐπαρθεὶς εἰς ὕψος ἄῤῥητον,
μαθητὰ Γραικοῦ Μαξίμου, σὲ ἀνυμνοῦμεν,
τὸν θεάρεστον αὐτοῦ βίον συγγράψαντα
καὶ ἀνύσαντα καλῶς ὁδὸν ἀθλήσεως,
πόθῳ κράζοντες· Χαίροις, Πνεύματος σκήνωμα.

**Ὁ Οἶκος.**

Ἄγγελοι κατιδόντες,
Σιλβανέ, σοῦ τοὺς τρόπους
ἀσκήσεως ἐξέστησαν ὄντως,
τοῦ Μαξίμου Γραικοῦ μαθητὰ
καὶ τοῦ Παρακλήτου θεαυγὲς πύρσευμα·
διό σε μακαρίζοντες
κραυγάζομεν ἀξιοχρέως·

Χαῖρε, ἐκβλάστημα τῆς Ῥωσίας·
χαῖρε, τὸ εὖχος τῆς ἡσυχίας.

Χαῖρε, τοῦ Σεργίου τῆς Μάνδρας ἀνάστημα·
χαῖρε, παναρίστου ἀγῶνος ἐκτύπωμα.

Χαῖρε, ὅτι βίον ἔγραψας διδασκάλου σου σοφοῦ·
χαῖρε, ὅτι ἐκραταίωσας Ἐκκλησίαν τοῦ Χριστοῦ.

Χαῖρε, Πνεύματος Θείου διαυγέστατον ῥεῖθρον·
χαῖρε, σώφρονος βίου ἀκλινέστατον βάθρον.

Χαῖρε, Μαξίμου τρόπων ὁμόζηλος·
χαῖρε, Ὑψίστου φίλος ὁ γνήσιος.

Χαῖρε, ὡράϊσμα τῆς εὐσεβείας·
χαῖρε, καλλώπισμα τῆς Ἐκκλησίας·

Χαίροις, Πνεύματος σκήνωμα.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΒ΄/ΚΕ΄ Ἰουλίου. Εἶτα λέγομεν·**
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου Ὁσιομάρτυρος Σιλβανοῦ, μαθητοῦ τοῦ Ὁμολογητοῦ τῆς πίστεως, Ἁγίου Μαξίμου, τοῦ Γραικοῦ, τοῦ Βατοπαιδινοῦ.

**Στίχοι.**

Πνεύματος κινύρα, Σιλβανέ, Ἁγίου,
ἐμαθήτευσας παρὰ πόδας Μαξίμου.

**Συναξάριον.**

Ὁ Ἅγιος Ὁσιομάρτυς Σιλβανός, ὁ εὐπειθέστατος μαθητὴς καὶ βιογράφος τοῦ Ἁγίου Μαξίμου τοῦ Ὁμολογητοῦ, ἐπονομαζομένου Γραικοῦ, τοῦ Βατοπαιδινοῦ, ὑπῆρξεν ὁσιώτατος μοναστὴς τῆς Λαύρας τοῦ Ἁγίου Σεργίου. Διαπνεόμενος ὑπὸ τοῦ ἰδίου πνεύματος τοῦ αὐτοῦ Γέροντος καὶ διδασκάλου ἀνεδείχθη ἐφάμιλλος τῆς πνευματικῆς ἐκείνου γνώσεως. Ὁ ἴδιος ἐθεώρει μεγίστην τὴν πρὸς αὐτὸν εὔνοιαν τοῦ Θεοῦ διὰ τὴν μετὰ τοῦ Ἁγίου Μαξίμου πνευματικὴν ἐπικοινωνίαν. Θαυμάζων τὰς ἱκανότητας τοῦ αὐτοῦ Γέροντος ὁ Ἅγιος Σιλβανὸς σαφῶς αὐτὸν ἐχαρακτήριζε σοφίας ταμεῖον, τὸν πέλοντα γνώστην τριῶν γλωσσῶν, ἑλληνικῶν, λατινικῶν καὶ ῥωσικῶν καὶ ποιητὴν ἡρωωελεγειακῶν ποιημάτων, διεκρινόμενος μεταξὺ τῶν αὐτοῦ συγχρόνων διὰ τὴν εὐφυΐαν καὶ τὴν ὀξυδέρκειαν. Τὸ ἐγκώμιον αὐτὸ ἀναφέρει ἐν τῇ εἰσαγωγῇ τοῦ βιβλίου τῆς μεταφράσεως τῆς ὑπὸ τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ἑρμηνείας τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, ἔργον ὅπερ τῇ τοῦ Μαξίμου βοηθείᾳ ἐπετέλεσεν ἐν ἔτει 1524. Ἐν αὐτῷ ὁμιλεῖ μετὰ πολλῆς αὐτομεμψίας διὰ τὸν ἴδιον καί, ἂν καὶ ἐκοπίασε τὰ μάλλα διὰ τὴν αὐτοῦ ὁλοκλήρωσιν, ἀποδίδει τὴν μετάφρασιν εἰς τὸν αὐτοῦ Γέροντα. Δὲν εὐσταθεῖ, ὅμως, ὁ ἰσχυρισμὸς αὐτοῦ διότι ὁ Ἅγιος Μάξιμος, ὁ Γραικός, ἐστερεῖτο τότε ἐπαρκοῦς γνώσεως τῆς ἐκκλησιαστικῆς σλαβονικῆς διαλέκτου. Ὁ Ἅγιος Σιλβανὸς ἐκοιμήθη μαρτυρικῶς ἐνωρίτερον τοῦ Ἁγίου Μαξίμου τοῦ Ὁμολογητοῦ, δι' ἐγκλωβισμοῦ αὐτοῦ ἐντὸς θαλάμου, δεινῆς ἀπαιωρήσεως αὐτου καὶ ἀποπνιγοῦ διὰ δηλητηριωδῶν ἀερίων, προϊόντων ἀτελοῦς καύσεως ξυλωδῶν ὑλῶν. Ὁ πρίγκιψ Κούρμπσκυ, σύγχρονος τοῦ Ἁγίου Μαξίμου, ἀναφέρει ὅτι ὁ ἴδιος ὁ Μητροπολίτης Δανιὴλ παρέδωκεν εἰς θάνατον τὸν Ἅγιον Σιλβανὸν ἐν τῇ μητροπολιτικῇ οἰκίᾳ ἐν ἔτει 1539, ὀλίγον πρὸ τῆς τοῦ Δανιὴλ καθαιρέσεως. Οὕτως ὁ Ἅγιος ἔλαβε διπλοῦς στεφάνους, δηλονότι τοῦ Ὁσίου καὶ τοῦ Μάρτυρος.

Ταῖς αὐτοῦ ἁγίαις πρεβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Οἱ ἀκόλουθοι
τοῦ σκότους σε ἀπέκτειναν
φωτὸς τὸν ἔμπλεων,
θεοειδὲς Σιλβανέ,
ἀκτῖνας μὴ φέροντες
βλέπειν σοφίας σου,
ταπεινώσεως
καὶ ἀγωγῆς ἀμέμπτου σου,
εὐκλεὲς Ὁσιομάρτυς.

Ὕμνων ἄνθεσιν
ἀεί σε καταστέφομεν,
τὸν ὁσιόαθλον,
πανευσταλῆ Σιλβανόν,
Μαξίμου ζηλώσαντος
Γραικοῦ τὰ σκάμματα
καὶ ἀθλήσαντος
ἐκείνου ἐνωρίτερον
ἐν θαλάμῳ ἀερίων.

Ἐν τοῖς δώμασιν
εὐκλείας ὑπὲρ ἔννοιαν
τοῦ πόλου, ἔνθεε,
συγχαίρεις νῦν, Σιλβανέ,
Μαξίμῳ, σῷ Γέροντι
καὶ θείαις τάξεσι
τῶν Δυνάμεων
τῶν Ἀσωμάτων, Κτίσαντος
καθορῶν  μορφῆς τὸ κάλλος.

**Θεοτοκίον.**

Γῆθεν ἕλκυσον
πρὸς οὐρανῶν σκηνώματα,
Θεογεννήτρια,
τὰς ὁμηγύρεις πιστῶν
καὶ πάντας τοὺς σπεύδοντας
εἰς Βατοπαίδιον
προσκυνῆσαί σου
τὸ ἱερὸν ἐκτύπωμα,
Μῆτερ Πυροβοληθεῖσα.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Κλέϊσμα Ὁσίων καὶ Μαρτύρων
Ῥωσίας περιφανὲς καὶ σεμνολόγημα,
Σιλβανέ, τῆς πίστεως,
σὺν Μαξίμῳ πρέσβευε
τῷ θείῳ διδασκάλῳ σου
καὶ ποδηγέτῃ σου
πρὸς πόλου τὰ σκηνώματα δοῦναι
ἄμφω εὐσεβέσι
τὰ πρόσφορα ἐν βίῳ.

Ὡς θεοειδῶν
πατέρων ἀκρώρειαν
σὲ μεγαλύνομεν
μαρτυρίου στέφανον
τὸν εἰληφότα

πιστῶς κραυγάζοντες·
Τοῦ Παρακλήτου Πνεύματος
βαλβὶς καὶ Χάριτος
ταμεῖον, Σιλβανέ, σκοτομήνην
δίωξον ταχέως
παθῶν τῶν ἱκετῶν σου.

Μάρτυρος μισθὸν ἀξιοχρέως
ἀπείληφας οὐρανόθεν, πνευματέμφορε
ἀσκητὰ καὶ πίστεως,
Σιλβανέ, ἀγλάϊσμα,
ἐκ τῶν χειρῶν τοῦ νέμοντος
τὰ γέρα ἅπασι
σωφρόνως, εὐσεβῶς καὶ δικαίως
ἀγωνιζομένους
ἐν βίῳ τῷ παρόντι.

**Θεοτοκίον.**

Ἴασαι ἡμῶν τὰς ἀλγηδόνας,
τῶν πίστει μακαριζόντων σε, Παντάνασσα,
Ἐσφαγμένη πάνσεμνε,
θεία Βηματάρισσα,
ἁγνὴ Ἐλαιοβρύτισσα,
Ἀντιφωνήτρια,
κλεινὴ Παραμυθία Παρθένε
καὶ πυλῶνος φύλαξ,
ὦ Πυροβοληθεῖσα.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Ὄμβρισον ἡμῖν
ῥανίδας σοφίας σου,
πολλῆς χρηστότητος,
θείας ταπεινώσεως
καὶ φιλοπόνου
ζωῆς, πανάριστε,
τοῖς νῦν σε μακαρίζουσιν
ὡς ἱερώτατον
τοῦ Μαξίμου
βιογράφον, ἔνθεε,
καὶ Ὁσίων Μαρτύρων ἀπαύγασμα.

Νύκτα τῶν παθῶν
ἡμῶν ἀποδίωξον
μακαριζόντων σε,
Σιλβανὲ θεόσοφε,
καὶ ἦμαρ πᾶσιν
ἡμῖν ἀνάτειλον

τῆς ἀπαθείας, Ἅγιε,
Ῥωσίας σέμνωμα,
καὶ Μαξίμου
μαθητὰ περίδοξε,
τοῦ Γραικοῦ κεκλημένου, καὶ πάντιμε.

Χαῖρε, ἀσκητὰ
καὶ μάρτυς ἀήττητε,
ὁ τὰ συγγράμματα
καλλιγράψας, ἔνθεε,
Γραικοῦ Μαξίμου,
τοῦ στύλου πίστεως,
οὗ πέφηνας ὁμόζηλος
πόνων ἀσκήσεως
καὶ τῶν τρόπων
ἀρετῆς ἐφάμιλλος,
θαυμαστὲ Σιλβανέ, ἐκβοῶμέν σοι.

**Θεοτοκίον.**

Μῆτερ τοῦ Χριστοῦ,
μὴ παύσῃ στηρίζουσα
τὸ Βατοπαίδιον,
Ἐσφαγμένη πάγκαλε,
Παραμυθία,
Ἐλαιοβρύτισσα,
πανευκλεὲς Παντάνασσα,
Ἀντιφωνήτρια
καὶ θαυμάτων
φρέαρ, Βηματάρισσα,
ταπεινῶς τῶν σκηνούντων ἐν Ἄθωνι.

**Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Ῥωσίας πάντιμον εὖχος,
Μαξίμου θείου μαθητά,
τοῦ Παρακλήτου πυξίον,
πνευματοφόρε Σιλβανέ,
τῶν συγγραφῶν σου τρυφῶμεν
εὐσεβοφρόνων οἱ δῆμοι.

**Θεοτοκίον.**

Μῆτερ Θεοῦ, ἐπευλόγει
καὶ καθαγίαζε ἡμᾶς
τοὺς μεγαλύνοντας πόθῳ
τῶν θαυμασίων σου πληθὺν
καὶ σὸν Υἱὸν καθ’ ἑκάστην
δοξολογοῦντας, Παρθένε.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Δεῦτε πιστοὶ συνελθόντες
ἐγκωμιάσωμεν
τὸν μαθητὴν Μαξίμου
Σιλβανὸν τὸν θεόπνουν,
Γραικοῦ τοῦ κεκλημένου, καὶ ζηλωτὴν
τῆς αὐτοῦ θείας πίστεως
καὶ πολιτείας ἀμέμπτου καὶ ἀρετῆς,
μελῳδίαις πανευσχήμοσι.

Λαύρας Ὁσίου Σεργίου
σεπτὸν οἰκήτορα,
ὡς Παρακλήτου σκεῦος
τιμαλφὲς τοῦ Ἁγίου,
πυξίον ἰσαγγέλου διαγωγῆς
καὶ φανὸν ταπεινώσεως
ἐγκωμιάσωμεν ᾄσμασι, Σιλβανόν,
μαθητὴν Μαξίμου ἔνθεον.

Τὸν βιογράφον Μαξίμου
καὶ τρόπων μέτοχον
αὐτοῦ ἀποπνιγέντα,
οἴμοι, δι᾽ ἀερίων,
ὑμνήσωμεν ἐκθύμως νῦν Σιλβανόν,
καλλιγράφον ὡς ἄριστον
καὶ ἐν τῇ γλώσσῃ Σλαβόνων μεταφραστὴν
συγγραφῶν τοῦ Χρυσοῤῥήμονος.

Πνευματοκίνητον πάντες
γραφίδα μέλψωμεν
καὶ ἀσκητὴν θεόπνουν,
Σιλβανὸν εὐσχημόνως
οἱ μνήμην τοῦ Μαξίμου ὕμνοις τερπνοῖς
τοῦ Γραικοῦ ἑορτάζοντες,
παρ᾽ οὗ τοὺς πόδας τοὺς θείους ἄρτι αὐτὸς
εὐδοκίμως ἐμαθήτευσεν.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε πιστοὶ τὸν ἐν ταπεινώσει καὶ ὑπακοῇ πολιτευσάμενον,
πνευματέμφορον μοναστήν, Σιλβανὸν εὐφημήσωμεν,
ὡς μαθητὴν καὶ ὁμότροπον Ὁμολογητοῦ Μαξίμου
αὐτῷ συναγαλλόμενον ἐν πόλῳ δόξης
ἐν εὐλαβείᾳ κραυγάζοντες·
Ὁ τὸν Χρυσοῤῥήμονα ἐν τῇ Σλαβονικῇ διαλέκτῳ μεταφράσας,
ἐπ᾽ ἀρετῇ διαπρέψας
καὶ μαρτυρικῶς τὸ ζῆν ἐκμετρήσας,

μὴ παύσῃ Χριστοῦ δεόμενος ὑπὲρ τῶν τιμώντων
τὴν λαμπρὰν καὶ ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

---

# Ε Ν Τ ΗΙ Λ Ε Ι Τ Ο Υ Ρ Γ Ι ᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσιομάρτυρος ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· πρὸς Ἐφεσίους (Κεφ. στ΄ 10 - 17 ).**
Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος Αὐτοῦ...
**Ζήτει τῇ ΚΖ΄ Κυριακῇ.**

**Εὐαγγέλιον· κατὰ Ματθαῖον (Κεφ. ζ΄ 12 - 21 ).**
Εἶπεν ὁ Κύριος· Πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι...
**Ζήτει τῇ 13ῃ Ὀκτωβρίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, εὐπειθέστατε μαθητὰ
τοῦ σοφοῦ Μαξίμου,
θεοτίμητε Σιλβανέ,
χαίροις, κοσμιότης
τῶν ὁσιομαρτύρων
καὶ ἱερῶν γραφέων
ἔμπνουν θησαύρισμα.

**Δίστιχον.**

**Σιλβανὸν ὁσιόαθλον Ἐφραὶμ χάριν,**
**σεπτοῦ Ἡγουμένου, Χαραλάμπης ᾖσεν.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ. Α 706 / 22-6-14**




Ὁ ἅγιος Μάξιμος ὁ Γραικός, Γέροντας τοῦ ἁγίου νέου Ὁσιομάρτυρος Σιλβανοῦ.



Μέρος τῶν λειψάνων τοῦ ἁγίου Μαξίμου τοῦ Γραικοῦ, ἀποθησαυρισμένον εἰς τὴν Ἱερὰν Μεγίστην Μονὴν τοῦ Βατοπαιδίου.